# TEZAUR LITURGIC

## 15 MAI

APOSTOLOS PAPAHRISTOUS

# SLUJBA SF.CUVIOS ANDREI DE LA AKARNANIA ETOLIEI

ATENA,2020


ΑΠΟСΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗС ЄΚΚΛΗСΙΑС ΤΗС ЄΛΛΑΔΟС

# 15 ΜΑΪΟΥ
# ΑΚΟΛΟΥΘΙΑ
# ΟΣΙΟΥ ΑΝΔΡΕΟΥ ΕΡΗΜΙΤΟΥ
# ΤΟΥ ΕΝ ΚΑΛΑΝΑΙΣ

**Ποίημα Ἀποστόλου Παπαχρήστου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τὸ *Κύριε, ἐκέκραξα·* ψάλλομεν εἰς δ΄ Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου. Ἦχος γ΄. Μεγάλη τῶν Μαρτύρων σου.

Προθύμως συνελθόντες σήμερον τιμῶμεν σέ, Ἀνδρέα θεοφόρε, δοξάζοντες τὸν κτίστην, τὸν προστάτιν σὲ ἡμῖν διδόντα πάτερ, ἐν βίῳ τῷ παρόντι, καὶ τῶν ψυχῶν ἡμῶν, πρεσβευτήν τε καὶ ῥύστην

Λαβὼν σοῦ τὸν σταυρὸν ἐπ ὤμων ἠκολούθησας, προθύμῳ τῇ καρδία, Χριστὸν τὸν βασιλέα, καὶ τὰ κόσμου βδελυξάμενος ἡδέα, ἐπλήσθης τῶν χαρίτων, τοῦ θείου Πνεύματος, θεοφόρε Ἀνδρέα.

Δυνάμει τοῦ σταυροῦ τὸν δράκοντα μακάριε, τὸν ἄρχοντα τοῦ σκότους, ἐπάτησας γενναίως, ἐν νηστείαις προσευχαῖς καὶ ἀγρυπνίαις, καὶ γεγονὸς Ἀνδρέα, πηγὴ ἀκένωτος, τῶν θαυμάτων σοῖς δούλοις.

Σὺ γόνος Μονοδένδρου πέλεις ἱερώτατε, οἰκήτωρ τε Καλάνης, καὶ φῶς Χαλκιοπούλου, καὶ παντὸς τοῦ

Βάλτου μέγας ἀντιλήπτωρ, πατὴρ ἡμῶν Ἀνδρέα, ὅθεν γεραίρομεν, καταχρέος σὲ πάντες.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἔχει τῶν Ὀρθοδόξων Ἀνδρέα ἡ ὁμήγυρις, ἐν νόσοις σὲ ἰατρόν, ἐν θλίψεσι παρακλήτορα, καὶ μέγαν ἐν τοῖς κινδύνοις Σωτῆρα. Μάλιστα δὲ οἱ προσκαλούμενοι σὲ πίστει, βοηθόν τε τάχιστον, κατὰ παθῶν ὀλεθρίων, καὶ ἐχθρῶν ἀοράτων. Διὸ πανθαύμαστε, καὶ ἡμᾶς τοὺς τὴν σὴν μνήμην, μετ᾽ εὐλαβείας πάντοτε δοξάζοντας, περιχαράκωσον καὶ φύλαττε ἀεί, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

*Καὶ νῦν. Τὸ τῆς ἑορτης.*

*Ἀπόστιχα Στιχηρά. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.*

Πῶς σὲ θαυματουργέ, ὁ ἐπὶ γῆς Ἀνδρέα, τιμήσωμεν ἐν ὕμνοις, τὸν μετ᾽ Ἀγγέλων πάτερ, ἀεὶ συνδοξαζόμενον;

Στίχος. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Τὴν σύζυγον σοφέ, Ἀνδρέα τε καὶ τέκνα, πατρίδα καὶ τὰ πάντα, διὰ Χριστὸν ἀφῆκας, καὶ ἤρθης εἰς Παράδεισον.

Στίχος. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον*

Ῥῦσαι ἡμᾶς παθῶν, δαιμόνων ἐκ κακίας, καὶ πάσης ἁμαρτίας, τοὺς πίστει τὴν σὴν μνήμην, Ἀνδρέα ἑορτάζοντες.

*Δόξα.*

Δόξα σοι ὤ! Μονάς, τῇ φύσει, καὶ προσώποις, Τριάς, Υἱὲ καὶ Πάτερ, καὶ Πνεῦμα, ἡ τὰ πάντα, συνέχουσα δυνάμει σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε ὤ! Μαριάμ, ἡ Μήτηρ τοῦ Κυρίου, ἡ δόξα τῶν Ἀγγέλων. Χαῖρε ἡμῖν τοῖς πᾶσι, ἀνοίξασα Παράδεισον.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Καλάνης οἰκήτωρ καὶ ἐν σώματι Ἄγγελος, καὶ Χαλκιοπούλου τὸ κλέος, δόξα Βάλτου καὶ καύχημα, ὑπάρχεις ὡς Ἀνδρέα ἀληθῶς, διὸ καὶ εὐφημοῦμεν σὲ πιστῶς· θεραπεύεις γὰρ νοσοῦντας, καὶ πειρασμῶν λυτροῦσαι τοὺς βοῶντας σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σε θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σου πᾶσιν ἰάματα.

*Δόξα, Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Ἡ Ἀπόλυσις καὶ τὸ Δι εὐχῶν.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς τό· *Κύριε, ἐκέκραξα·* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν φιλέορτοι, μετ’ εὐλαβείας προσέλθωμεν, ἐν τῷ οἴκῳ γηθόμενοι, Ἀνδρέου τοῦ μάκαρος, ὃν ἡ

Θεοδώρα, ἄνασσα ἡ θεία, ἤγειρε πάλαι εὐσεβῶς, καὶ ἐκ βαθέων αὐτῷ βοήσωμεν· Ἀνδρέα πανσεβάσμιε, τῶν Ὀρθοδόξων τὸ στήριγμα, τὸν Θεὸν καθικέτευε τοῦ σωθῆναι τοὺς δούλους σου.

Κόσμον ἐγκατέλιπες, καὶ τὰ ἐν κόσμῳ φθειρόμενα, ἀγαθὰ παναοίδιμε, Ἀνδρέα καὶ Κύριον, ἀγαπήσας μόνον, οὗ ἀκολουθήσας, τοῖς θείοις ἴχνεσι θερμῶς, δι᾽ ἐγκρατείας παθῶν τὴν θάλασσαν, ἐμάρανας τὴν ἔμπυρον. Διό ὑμνοῦμεν σὲ ἅπαντες, ἐπὶ γῆς ὥσπερ ἄγγελον, ἐγνωκότες βιώσαντα.

Τέκνα καὶ τὴν σύζυγον, πατρίδα δόξαν καὶ χρήματα, καταλιπὼν καὶ ἔρημον, οἴκων σὺ ἐκδέδωκας, σεαυτὸν ἀσκήσει, ἔνθα γυμνητεύων, καὶ ἐγκρατείᾳ τὸν Θεόν, καὶ ταῖς δεήσεσι πάτερ ηὔφρανας. Διὸ ὡς δοῦλον γνήσιον,
Αὐτοῦ, Ἀνδρέα τιμῶμεν σὲ Μονοδένδρου τὸ καύχημα, ἀσκητῶν ἐγκαλλώπισμα.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὅσιε πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν παθῶν ἠλευθέρωσας· καὶ σεαυτὸν ἡτοίμασας τοῦ πνεύματος καταγώγιον ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρί, μονὴν παρὰ σὺ ἐποιήσατο, καὶ Θεὸν κατὰ μέθεξιν, καὶ πηγὴν θαυμάτων σὲ ἀπειργάσατο. Ὅθεν καὶ διηνεκῶς θαυματουργῶν, τὴν κεφαλὴν γυναικὸς ἐθεράπευσας, διὰ ῥανίδων εκ τοῦ σοῦ σπηλαίου ὕδατος ἐκπεσουσῶν πρὸς αὐτήν. Τῷ δὲ τῶν λειψάνων σου τὴν θήκην εὐλαβῶς

προσκυνήσαντι, τὸν παρειμένων αὐτοῦ γονάτων, τὴν ῥῶσιν συμπαθῶς ἐχορήγησας. Καὶ πλεῖστοι τῶν ἀθενούντων, χοῦν μόνον ἐκ τοῦ τάφου σου λαβόντες, τὴν ὑγείαν αὐτῶν εὐχαριστοῦντες σὲ ἔλαβον. Διὸ παναοίδιμε, πᾶσα ἡ τοῦ Βάλτου χώρα, εὐγνωμόνως βοᾶ σοι λέγουσα· Ἀνδρέα πατὴρ ἡμῶν, σὲ ἱκετεύομεν, μὴ ἐπιλάθου τῆς ποίμνης σου.

*Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Εἴσοδος, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἥμων πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὥς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινούσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθοτες ἐπ’ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ, προσμενούσιν αὐτῷ· ὅτι χάρις καὶ

ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπῇ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τήν κτίσιν εἰς ἀμῦναν ἐχθρῶν· ἐνεδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήφεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆς ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

*Σοφία Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιος, ἐὰν φθάσῃ τελευτήσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῶ ἐτῶν μεμέτρηται, πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότης ἀμαυροὶ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διάνοια τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπῇ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.*

Ἀγάλλου καὶ εὐφραίνου σὺν Χαλκιοπούλῳ σήμερον, πᾶσα ἡ Βάλτου χώρα, καὶ σὺν Μονοδένδρῳ σκίρτησον, Ἀνδρέα τιμῶσα τὸν σεβάσμιον. Καὶ ἀνάβηθι ἐν τῷ Καλάνης σπηλαίῳ, τὴν μνήμην αὐτου ἑορτάζουσα, περιχαρῶς βοῶσα πρὸς αὐτόν. Ὁ ἐν τῷ σώματι ἔτι ὢν, καὶ μετὰ Ἀγγέλων συγκατοικῶν, τὴν εἰρήνην ἡμῶν, Ἀνδρέα παναοίδιμε.

*Ἦχος β΄.*

Ἐνέπλησεν χαρίτων, τὴν παναγίαν σοῦ ψυχήν, ὁ ἐν τοῖς ὑψίστοις κατοικῶν, ἀσκητὰ Ἀνδρέα μακάριε, Χριστὸς ὁ Θεὸς ἡμῶν. Ἐλθὼν γὰρ σὺν τῷ Πατρὶ αὐτοῦ

καὶ τῷ Πνεύματι, μονὴν παρὰ σὺ ἐποιήσατο, καὶ τῆς τριλαμποῦς θεότητος, οἶκον σὲ ἀπειργάσατο. Διὸ καὶ ἐν τῇ τοῦ θανάτου σου ὥρα, τὸ πρόσωπόν σου τοῖς πᾶσιν, ὡς ἥλιον φαεινότατον ἔδειξας ὑπὸ πάντων θαυμαζόμενος. Καὶ ἡμεῖς βοῶμεν σοι πανσεβάσμιε· τὰς ψυχὰς ἡμῶν τῷ φωτί σου καταύγασον, ἀσκητῶν ἐγκαλλώπισμα.

*Ἦχος γ΄.*

Ἡ τῶν λειψάνων σου θήκη πατὴρ ἡμῶν ὅσιε, ὡς ἄλλος Παράδεισος ἡμῖν ἀνεδείχθη, τὰ ὀστᾶ σοῦ τὰ τίμια κατέχουσα, ὡς ἄνθη μυρίπνοα, πεπληρωμένα ὄντα τῶν χαρίτων τοῦ πνεύματος. Διὸ τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος κλίναντες, καὶ ταῦτα πίστει ἀσπαζόμενοι, βοῶμεν σοι μακάριε. Ὁ πάντα τόπον ἁγιάζων, καὶ δαίμονας φυγαδεύων, ἀπὸ πάσης ὀργῆς τοὺς δούλους σου φύλαττε, Ἀνδρέα τῶν πατέρων ἐγκαλλώπισμα.

*Ἦχος δ΄*

Ὢ τοῦ παραδόξου θαύματος! ἐν τῇ χάριτι τοῦ Κυρίου μακάριε ὤν, καὶ ὡς ἄσαρκος ἐν γῇ κατοικῶν, τὰς στερήσεις τοῦ βίου ὡς ἀπολαύσεις ἐλογίζεσο, ὡς κῆπον τὴν ἔρημον, ὥσπερ παλάτιον τὸ σπήλαιον. Τὰ πενιχρά, σοῦ ἐνδύματα ὡς πορφύραν βασιλικήν, τὸν λίθον ὥσπερ παστάδα, ὥσπερ θάλψιν τὸ ψῦχος, καὶ ὡς δρόσον τὴν καῦσιν πανσεβάσμιε. Ἀντὶ τρυφῆς τὴν νηστείαν, καὶ ἀντὶ οἴνου τὸ ὕδωρ μετὰ κόπου ἐλάμβανες. Ἀλλ᾽ ὤ! Ἀγγέλων ἰσοστασιε, καὶ τῶν ἁγίων

συγκληρονόμε, Ἀνδρέα πανεύφημε, καὶ ἡμᾶς τῆς οὐρανῶν βασιλείας, μετόχους γενέσθαι καταξίωσον.

*Ἦχος βαρύς.*

Πνευματικῶς συνελθόντες σήμερον πιστοί, ἐν ψαλμοῖς καὶ ὕμνοις, Ἀνδρέαν τὸν ἀοίδιμον τιμήσωμεν. Οὗτος γὰρ ἐκ Μονοδένδρου ὁρμώμενος, καὶ τὸν Χριστὸν ὑπὲρ πάντας ἀγαπήσας, καὶ τοὺς οἰκείους αὐτοῦ καὶ τὰ πάντα δι᾽ αὐτὸν καταλιπών, ἐλθὼν ἐν τῇ Καλάνῃ τῇ τοῦ Βάλτου, τὴν ἔρημον κατῴκησεν. Ἔνθα ἐν προσευχαῖς καὶ νηστείαις ἀεὶ διατελῶν, καὶ ἀρετήν τε πᾶσαν ἀσκῶν, καὶ Θεῷ οἰκειωθείς, τῶν θαυμάτων παρ᾽ αὐτοῦ τὴν ἐνέργειαν εἴληφεν. Διὸ καὶ ἐν τῇ τελευτη αὐτοῦ, φῶτα μεγάλα ὥσπερ πυρσοί, τὸ σπήλαιον τοῖς πᾶσιν ἐδείκνυον. Ἅπερ κατειδούσα, Θεοδώρα ἡ βασίλισσα ἐν Ἄρτη οὖσα, καὶ μετὰ τῆς συγκλήτου ἐλθοῦσα, τὴν ταφὴν αὐτοῦ· ἐπριήσατο, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ οἶκον περίδοξον ᾠκοδώμησεν. Τῇ τε ὑποδείξει τοῦ Ὁσίου, τὰ θεία λείψανα αὐτοῦ διανεμηθέντα, πηγὴ θαυμάτων τοῖς πᾶσι ἐγένοντο. Ὅθεν καὶ ἡμεῖς μετ᾽ εὐλαβείας᾽ ταῦτα ἀσπαζόμενοι αὐτῷ ἐκ ψυχῆς βοήσωμεν· Ἀνδρέα πατὴρ ἡμῶν, μὴ διαλείπεις πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἔχει τῶν Ὀρθοδόξων, Ἀνδρέα ἡ ὁμήγυρις, ἐν νόσοις σὲ ἰατῆρα, ἐν θλίψει παρακλήτορα, καὶ μέγαν ἐν τοῖς κινδύνοις Σωτῆρα, καὶ ὑπέρμαχον μάχης. Διὸ

πανθαύμαστε, καὶ ἡμᾶς τοὺς τὴν σὴν μνήμην, μετ' εὐλαβείας πάντοτε δοξάζοντας, περιχαράκωσαν καὶ φύλαττε ἀεί, τῶν ἀοράτων ἐχθρῶν, ἀπημάντους ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Εἰς τὸν στίχ. Προσόμοια Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.*

Χαίρει τῶν ἀσκητῶν ὁ χορός, καὶ τῶν μιγάδων σὺν ἀγγέλοις Θεόπνευστε, Ἀνδρέα καὶ σὲ γεραίρει ᾠδαῖς καὶ θείοις ψαλμοῖς, ἐν χαρᾷ καὶ πόθῳ στεφανούσα σε· σαρκὸς γὰρ τὸ φρόνημα, καὶ δαιμόνων τὰ ἐνέδρα, δι' ἐγκρατείας καὶ συντόνου δεήσεως, κατεπάτησας, ὥσπερ ἄσαρκος Ὅσιε. Ὅθεν ὁ παντοδύναμος, πολλοῖς σὲ νῦν θαύμασι, καὶ μετὰ πότμον δοξάζει· ὃν ἐκτενῶς καθικέτευε, ἡμῖν χορηγῆσαι, τῶν πταισμάτων τὴν συγγνώμην καὶ μέγα ἔλεος.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

Ἄρας σοῦ τὸν σταυρὸν ἀληθῶς, ἐπὶ τῶν ὤμων σὺ Ἀνδρέα θεσπέσιε, τὸν κόσμον καὶ τὰ τοῦ κόσμου, ἀπαρνηθεὶς καὶ Χριστῷ, ἐν χαρὰ προθύμως ἠκολούθησας· καὶ γὰρ αὐτοῦ πέφυκεν ὁ ζυγὸς ἀγαθώτατος, καὶ τὸ φορτίον ἐλαφρότατον ὅσιε. Ὅθεν εἴληφας ἐκ πηγῆς τῆς τοῦ πνεύματος, χάριν τὴν τῶν ἰάσεων, διώκειν τε δαίμονας, λυτροῦσθε πάντας. Διόπερ, ἀεὶ δυσώπει τὸν Κύριον, τυχεῖν σωτηρίας, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν θείαν μνήμην σου.

Στίχ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις τῶν μοναζόντων κρηπίς, καὶ τῶν ἐν κόσμῳ ὁδηγὸς ὁ σωτήριος, ὁ πάσας τοῦ διαβόλου τὰς μηχανὰς καθελών, καὶ ἐν γῇ πατήσας ὥσπερ παίγνιον· Θεὸς γὰρ ἐνίσχυσε, σὰς αἰσθήσεις ἐμύσαντα, καὶ νοῦν καρδίαν καὶ ψυχὴν καθαιρόμενον, καὶ συμμένοντα, μόνον μόνῳ τῷ κτίστῃ σου· χαίροις οὖν παναοίδιμε, Ἀγγέλων συνόμιλε, τοῦ Μονοδένδρου τὸ κλέος, τῶν ἀσκητῶν ἐγκαλλώπισμα, ἡμῶν δὲ προστάτα, ἰατρὲ καὶ παρακλήτωρ, Ἀνδρέα ὅσιε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Χαλκιοπούλου κλέος, δόξα τε Καλάνης καὶ καύχημα τοῦ Μονοδένδρου, ὑπάρχεις Ἀνδρέα πατὴρ ἡμῶν. Διά σοῦ τῶν αἱρέσεων, πολέμων καὶ νόσων τε, οἱ δοῦλοι σοῦ λυτρούμεθα. Τοῦ Βάλτου τὸ καύχημα, Ἑλλάδος τε στήριγμα καὶ οἰκουμένης. Διὸ πρέσβευε τῳ Κυρίῳ, εἰρηνεύσαι τὸν κόσμον καὶ σώσαι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.* ·

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Καλάνης οἰκήτωρ καὶ ἐν σώματι Ἄγγελος, καὶ Χαλκιοπούλου τὸ κλέος, δόξα Βάλτου καὶ καύχημα, ὑπάρχεις ὡς Ἀνδρέα ἀληθῶς, διὸ καὶ εὐφημοῦμεν σὲ πιστῶς· θεραπεύεις γὰρ νοσοῦντας, καὶ πειρασμῶν λυτρούσαι τοὺς βοῶντας σοι· δόξα τῷ δεδωκότι οι

ἰσχύν, δόξα τῷ σε θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σου πᾶσιν ἰάματα.

## Εἰς τὸν Ὄρθρον

*Μετὰ τὴν α΄ στιχολογία,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Ἀγγέλων οἱ χοροὶ καὶ ἁγίων τε πάντων, καὶ ἄνθρωποι σοφέ, σοῦ γεραίρομεν μνήμην, Ἀνδρέα θεόπνευστε, τοῦ τὴν κάραν συντρίψαντος, τοῦ τὴν θάλασσαν, καὶ γῆν εἰπόντος ὀλέσαι καὶ βοῶμεν σοι· ὡς σὺν Χριστῷ βασιλεύων, ἡμᾶς διαφύλαξον.

*Δόξα. Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Μετὰ τὴν β’ στιχολογία. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ἐν ἐρήμοις κατοικῶν, καὶ μόνος μόνῳ τῷ Θεῷ, συγγινόμενος σοφέ, τῶν ἀκαθάρτων λογισμῶν κατακρατήσας ἐπέδως τῇ θεωρίᾳ, τὰ κάλλη τοῦ Θεοῦ, ἐνοπτρισθεὶς ἀμυδρῶς, καὶ νῦν ἐν οὐρανοῖς ἐπαπολαύεις σαφῶς, ὡς τῶν ἐσόπτρων Ἅγιε, λυθέντων σοῦ, σὺν τοῖς λοιποῖς. Διὸ βοῶμεν, Ἀνδρέα Πάτερ, σκέπε φρουρεῖ τοὺς δούλους σου.

*Δόξα. Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Μετὰ τὸν πολυέλεον. Ἦχος πλ. δ΄.*

Ἐν γυμνότητι δίψῃ καὶ ἐν λιμῷ, ἀνεχόμενος κρύους καρτερικῶς, καὶ καύσονος Ὅσιε, ἀρετὰς ἐκατώρθωσας, τὴν γὰρ σάρκα νεκρώσας, παθῶν κατεκράτησας, καὶ ὡς Ἠλίας ἄλλος, καὶ δεύτερος

Πρόδρομος· τὸν ἐν ταῖς ἐρήμοις, βίον πάτερ ζηλώσας, καὶ διάβολον ᾔσχυνας. Ὅθεν πάντες βοῶμεν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, Ἀνδρέᾳ, τὴν μνήμην σου.

*Δόξα...Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

Οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον Ἦχος δ΄: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Στιχ. *Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Τὸ Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν . Κεφ. στ’ (6), 17-23: *Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...*

Ὁ Ν’ ψαλμός.

Δόξα. *Ταῖς τοῦ σοῦ Ὁσίου.*

Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου.*

Στιχ. *Ἐλέησον μὲ ὁ Θεὸς...* Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Σήμερον ἡ Χαλκιόπουλος πᾶσα, ταῖς τοῦ θεοφόρου αὐγάζεται ἀκτῖσι. Καὶ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄνθεσιν ὡραιζόμενοι, Ἀνδρέα βοᾶ σοι· ἡμῶν ὁ ποιμήν, καὶ ἀπιστῶν ἀντίπαλε, πρέσβευε τῷ Κυρίῳ, ῥυσθῆναι πάντας, τῆς αἰωνίου Κολάσεως.

Εἶτα οἱ Κανόνες τῆς τυχούσης ἑορτῆς καὶ τοῦ Ὁσίου ὁ παρών.

Ὁ Κανῶν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς· *Τὸν Παργιὸν μὲ ὤ! Ἀνδρέα σῷζε. Ἀνδρέου.*

*Ὠδὴ α΄.· Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Τοῦ παντάνακτος τῷ πόθῳ τὴν καρδίαν τρωθείς, πάτερ τὰ ἐν τῷ κόσμῳ, ἀποταξάμενος καλῶς, ἐκολλήθης τῷ Χριστῷ Ἀνδρέᾳ σοφέ. Διὸ σὲ ἐδόξασεν ἐρημίτα μακάριε.

Οὐρανῶν σὲ αἱ δυνάμεις καὶ ἀνθρώπων πληθύς, Πάτερ Ἀνδρέα ὕμνοις, ἀνευφημοῦσι τὴν σεπτήν, καὶ ἁγίαν ἑορτήν, θεράπων Χριστοῦ, τῆς σῆς τελειώσεως, ἐκτελοῦντες γηθόμενοι.

Νεκρωθεὶς σὺ τῇ σαρκί σου, καὶ Χριστῷ τῷ Θεῷ, ζήσας, ἀξίως εὗρες, τὴν ἀμοιβὴν τῶν ἀρετῶν, καὶ τῷ δόξαν τοῦ Χριστοῦ πατέρων κρηπίς. Ἀνδρέα πανόλβιε, ὃν δυσώπει σωθῆναι ἡμᾶς.

*Θεοτοκίον.*

Παναγία τοὺς σοὺς δούλους, διασῴζεις ἀεί, πάντων κακῶν καὶ νόσων ὃν οὗν ἀφράστως ἀγαθή, καὶ ἀσπόρως ἐν γαστρὶ Χριστὸν τὸν Θεόν, Παρθένε συνέλαβες, σῷζε πάντας ἱκέτευε.

*Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν καινόν.*

Ἄνω ἔχων φρόνημα τὸ σόν, τῶν γηΐνων ἁπάντων καταπεφρόνηκας, καὶ οἶκος ὤφθης τερπνός, Τριάδος, Ἀνδρέα, ἣν ἡμᾶς σωθῆναι ἱκέτευε.

Ἄνω ἔχων νοῦν πρὸς τὸν Θεόν, τὴν συμβίαν καὶ τέκνα, ἀγροὺς καὶ χρήματα, ἐγκαταλείψας σοφέ, Ἀνδρέα, καὶ ὅλον πρὸς Αὐτόν, σαυτὸν ἀφιερώσας.

Ῥῆξας Πάτερ φύσεως δεσμά, τῇ ἀΰλῳ μακάριε πολιτεία σου, τῆς βασιλείας Θεοῦ ἀξίως μετείληφας αὐτοῦ, θεράπων γενόμενος.

*Θεοτοκίον.*

Ξένος πάντων πάναγνε βροτῶν, ταῖς τοῦ βίου μερίμναις ἐμβυθιζόμενον, ταῖς προστασίαις ταῖς σαῖς, ἐλπίζει σωθῆναι πειρασμῶν, καὶ νόσων καὶ θλίψεων.

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Σκιρτὰ νῦν σὺν ἡμῖν, Χαλκιόπουλος πᾶσα, καὶ ᾄδει ἐκτενῶς, τοὺς καλούς σου ἀγῶνας Ἀνδρέα τρισόλβιε, οὓς ἀνδρείως ὑπήνεγκας. Ὅθεν αἴτησαι, τοὺς ἐτησίως τελοῦντος, τὰ μνημόσυνα, τῆς ἐκδημίας σου πάντων, κακῶν ἀπαλλάτεσθαι.

*Δόξα...*

Ἑορτάζει σήμερον, ἡ Ἐκκλησία, τοὺς σεπτοὺς ἀγῶνάς σου, οὓς ἔτλεις μάκαρ κατ᾽ ἐχθρῶν, τὰ ὑπὲρ νοῦν τε παλαίσματα, Ἀνδρέα Πάτερ, πατέρων ἀγλάϊσμα.

*Καὶ νῦν. Τὸ τῆς ἑορτῆς.*

*Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἰδιωτεύων τῷ Θεῷ, ἐν τῇ ἐρήμῳ ἀσκητά, χαίρων συνομιλεῖς ἀῤῥήτως, καθαρθεὶς τῷ πνεύματι, δι᾽ ἐγκρατείας ὅσιε· χαίροις νῦν μετ᾽ ἀγγέλων χορεύων, καὶ σὺν ὁσίοις Χριστὸν ἐξιλεούμενος.

Ὁ ἐκ νεότητός σου, σὴν καθαροτάτην βιοτήν, Πάτερ ἐκτιμήσας Δεσπότης, θαυμασίοις ὕψωσε, καὶ

βασιλείας μέτοχον, ἔδειξε σὺν ἀγγέλοις βοῶντα, ἀκαταπαύστως αὐτῷ ὕμνον τρισάγιον.

Νῦν, οὐρανός, καὶ βουνοί, καὶ τὰ θεμέλια τῆς γῆς, κρότον εὐφροσύνης τελοῦσιν, ἐν τῇ θεία μνήμη σοῦ, δοξολογοῦντα Ὅσιε, γλώσσας γε ἀλαλήτοις τὸν κτίστην, τόν σε δοξάζοντα Ἀνδρέα παμμακάριστε.

*Θεοτοκίον.*

Μεμακρυσμένος τοῦ Θεοῦ, διὰ κακίαν ἀγαθή, πάντας σαῖς λιταῖς πλησιᾶσαι, τῷ Θεῷ εὐδόκησον, καὶ κληρονόμους ποίησον, δόξης τῆς τοῦ Υἱοῦ σου Παρθένε, ἀδιαλείπτως ἡμῶν, μακαριζόντων σέ.

*Ὠδή ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Ἐν ὕμνοις τιμῶμεν σὲ πάτερ, τὸν τοὺς πατέρας τοὺς πάλαι, ζηλώσαντα ὦ! Ἀνδρέα. Χοζεβίτην ἄριστα, καὶ λαμπάδων τὸν ἔνδοξον, ἐν Μαλεῷ τε Θωμᾶν τὸν μακάριον.

Ὠράθης ὅσιε ἐπίγειος πάτερ, τῇ ἐγκρατεῖ καὶ ἀΰλῳ, Ἀνδρέᾳ σῇ πολιτείᾳ, τῇ ὑφηλίῳ Ἄγγελος, εἰς ἀρετὰς μακάριε, πάντας ἡμᾶς ὁδηγούμενος.

Ἁπάντων παμμάκαρ Ἀνδρέα, καταφρονήσας ἐνύλων, ἠγάπησας τὸν δεσπότην, καὶ αὐτῷ συνέζησας, ἐν τῇ ἐρήμῳ ἄΰλον, ὄντως διαιτώμενος.

*Θεοτοκίον.*

Ναὸν τοῦ Θεοῦ καὶ σκηνὴν σέ, καὶ κιβωτὸν ἐγνωκότες, πανάχραντε δυσωποῦμεν, εὐμενῶς ἐπίβλεψον, τοῖς ἑπταικόσι δούλοις σου, πάντων κακῶν ἀπαλλάτουσα.

*Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.*

Δραμοῦσα, πᾶσα ἡ Ἀρτέων πληθύς, ἑορτάζει σου τὴν μνήμην παμμάκαρ, σὺν θεία τε Θεοδώρα σοφέ, τὴν βασίλισσα, ὤ! Ἀνδρέα ἱεραῖς, καὶ σεπταῖς μελῳδίαις.

Ῥανάτωσαν ὕδωρ νεφέλαι ἡδύ, καὶ τὰ ὄρη γλυκασμόν, τὰ πεδία κροτείτω, καὶ χορευέτω λαός ὁ χριστώνυμος, ἐν τῇ μνήμῃ τῇ λαμπρά, τοῦ Ἁγίου Ἀνδρέου.

Ἐχάρη ὁ τῶν ἀσωμάτων ἑσμός, καὶ δικαίων ἡ πληθύς, τὰ δαιμόνων, στίφη κατεπικράνθη σοφέ, καθορῶντάς σε, ὥσπερ Ἄγγελον ἐν γῇ, ὦ! Ἀνδρέα βιοῦντα.

*Θεοτοκίον.*

Ἁπάντων, τῶν κτισμάτων οὖσα ἁγνή, ὑπερτέρα καὶ Θεοῦ τοῦ Ὑψίστου, Παρθένε μῆτερ τὸν νοῦν μου παθῶν καταγλάϊσον, σῶν χαρίτων ἀγαθή, τῶν ἀϋλων καὶ θείων.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Ὡς ἀστὴρ πολύφωτος, τοῖς Χριστοφόροις σου τέκνοις, ἡ σεπτὴ ἀνέτειλε, τοῦ σοῦ θανάτου ἡμέρα, ἅπασαν διασκεδάζουσα ἀθυμίαν, ἀπαντᾷς ἡμᾶς καλοῦσα τοῦ ἐκβοᾶν σοι. Χαίροις πάνσοφε Ἀνδρέα, πατέρων δόξα καὶ κλέος καὶ καύχημα.

*Ὁ Οἶκος.*

Τὴν φωνὴν τὴν τοῦ εὐαγγελίου πάτερ ἀκούσας, σοὺς οἰκείους καὶ τὰ πάντα καὶ τοῦ Μονοδένδρου τόπον

ἐγκαταλείψας, καὶ τὸν σταυρόν σου ἐπ᾽ ὤμων ἀράμενος, τὴν ὁδὸν τοῦ Κυρίου ἀνεπιστρόφως διήνυσας. Καὶ ἐλθὼν εἰς τὸ Καλάνης Ὅρος, ταῖς μὲν προσευχαῖς καὶ νηστείαις καὶ χαυμευνείαις τὸν Θεὸν εὐαρεστήσας, τοῖς δὲ σοῖς δάκρυσι τὴν ἔρημον πᾶσαν κατήρδευσας. Ὅθεν καὶ παρὰ τοῦ ἁγίου Πνεύματος πηγὴν χαρισμάτων εἴληφας, τοῦ ποιεῖν τὰ θαύματα, καὶ πηγάζειν ἰάματα, τοῖς ἐν πίστει προσιοῦσι σοι. Ἐν , δὲ τῇ τελευτῇ σοῦ, ὑπὸ τοῦ Κυρίου δοξαζόμενος, ὡς ἥλιος ἐν τῷ σπηλαίῳ ἔλαμψας, καὶ πυρσοὺς εἰς οὐρανὸν ἀναβαίνοντας, ἄνωθεν τοῦ σπηλαίου ἔδειξας. Καὶ ἰδοῦσα τὸ σημεῖον ἡ τῆς Ἄρτης ἁγία βασίλισσα, μετ᾽ εὐλαβείας σπεύσασα, τὴν ταφήν σου ἐποιήσατο, καὶ οἶκον ἐπὶ τῷ ὀνόματί σου μέγαν ἀνήγειρεν. Σὺν αὕτη σὺν καὶ ἡμεῖς πάτερ ἀοίδιμε, ἐν κατανύξει βοῶμεν σοι. Χαίροις πάνσοφε Ἀνδρέα πατέρων δόξα καὶ κλέος καὶ καύχημα.

Συναξάριον.

Τῷ αὐτῷ Μηνὶ ιε΄ Μνήμη τοῦ ὁσίου Ἀνδρέου τοῦ ἐρημίτου καὶ θαυματουργοῦ.

*Ψυχὴν Ὄπισθεν τοῦ Θεοῦ κολλῶν πάτερ*
*ἔμπροσθεν αὐτοῦ νῦν παρίστασαι χαίρων.*
*Πατρίδα λιπών, σὺν συνεύνῳ καὶ τέκνοις,*
*ἔρημον οἰκεῖς ὡς ἄλλος δὴ Ἠλίας.*
*Πέμπτῃ καὶ δεκάτῃ Ἀνδρέαν ἔνθεν ἄειραν.*

*ᾨδὴ ζ΄. Ὁ παῖδας ἐν καμίνου ῥυσάμενος,*

Ἀνδρέα σοῦ τὴν σάρκαν ἐμάρανας, καὶ πᾶσαν εὐπάθειαν, κόσμον ἀρνηθεὶς τοῦ ἀκροτάτου ἐφέτου, ἀπολαύσαι ταχὺ ἐφιέμενος, ἠγρύπνεις καὶ ἐκοπίας θεόφρων σὺ νῦν καὶ ἐντετύχηκας.

Σαλπίγγων ἡδυφθόγγων τὰ εὔηχα, ᾀδέτωσαν Ὄργανα, ὕμνον ἐμμελῆ, ἐν τῇ ἡμέρᾳ τῇ λαμπρᾷ τῆς σεπτῆς τοῦ Πατρὸς τελειώσεως, καὶ πᾶσα παρασκιρτάτω ἡ κτίσις, ἐνθέως ἑορτάζουσα.

Ὡραία καὶ θεάρεστα ὤφθησαν, Ἀνδρέα τὰ ἔργα σου, ὅθεν ἡ Τριὰς καὶ μετὰ θάνατον καλῶς, ταῖς φανείσαις λαμπάσι ἐκόσμησε, τὸ θεῖόν σου καὶ σεβάσμιον σκῆνος, ὁσίων ἐγκαλλώπισμα.

*Θεοτοκίον.*

Ζωῆς τῆς ἀθανάτου πανάμωμε, ὑπάρξασα τέμενος, ἄλυκτον ζωὴν ἀπολαβεῖν ἡμᾶς σεμνή, σοὺς ἱκέτας ἀξίωσον καὶ πάντοτε ἀνακράζειν σοι, χαῖρε, ἡ πάντων ἀγαλλίασις.

*ᾨδὴ η΄. Αὕτη ἡ κλητή.*

Ἔχει οὐρανὸς τὴν ἁγίαν ψυχήν σου, Ἀνδρέα θεοφόρε, καταφαιδρύνουσα τοῦτον, καὶ ἡμεῖς τὰ σεπτά, καὶ ὡς μύρα πανευώδη σου λείψανα, δι᾽ ὧν ἐκ τῶν νόσων, λυτρούμεθα καὶ πλάνης.

Ἅπαντες πιστοί, εὐφρανθῶμεν ἐνθέως, τῇ μνήμῃ τῇ φωσφόρῳ, τοῦ μακαρίου Ἀνδρέου, σωφροσύνης καρπούς, καὶ ἐλέους τῷ Δεσπότῃ προσάγοντες, δι᾽ ὧν εὐλογεῖται, Χριστὸς εἰς τοὺς αἰῶνας.

Νεύσιν τοῦ Θεοῦ, εἰσδεχθεὶς τῇ καρδία, πατρίδα καταλείψας, ἀγγελικῆς πολιτείας, ζηλωτὴς ἀληθής, χρηματίσας· τῷ Θεῷ ἀνεκραύγαζες, τόν σε ἀπὸ βρέφους φιλοῦντα Σῶτερ σῶσον.

*Θεοτοκίον.*

Δέσποινα ἡμῶν, καὶ Κυρία τοῦ κόσμου, ἀπείρανδρε παρθένε, τοὺς ἀνυμνοῦντάς σε σῶσον πειρασμῶν καὶ κακῶν, ταῖς ἀπαύσταις πρὸς Θεὸν ἱκεσίαις σου, ὡς μῆτερ τοῦ πάντων ὑπάρχουσα Δεσπότου.

*ᾨδὴ θ΄. Φωτίζου, Φωτίζου.*

Ῥυήτω ἀφ᾽ ὕψους, ταῖς ἡμετέραις νῦν ψυχαῖς, μερισμὸς χαρισμάτων, ἐν τῇ θεία μνήμη σου, Πάτερ σοφὲ ταῖς πρεσβείαις ταῖς σαῖς, ὅπως ἀεί, Κύριον Ἀνδρέα, δοξολογῶμεν γηθόμενοι.

Ἐφάνη ὁ βίος, ὁ ἐγκρατής σου πρὸς Θεόν, ὡς θυμίαμα μάκαρ, καθαρῶς θυόμενος, ὅθεν ἡμᾶς, τοὺς ὑμνοῦντας τὴν σήν, μνήμην ἀεί, φύλαττε καὶ φρουρεῖ, τῶν διαβόλου κακώσεων.

Ὁλόφωτος πάτερ, ὢν ἐν τῇ δόξῃ τοῦ Θεοῦ, μετὰ πάντων ἁγίων, σοὺς ἱκέτας λύτρωσαι, πάσης φθορᾶς, καὶ κακῶν καὶ δεινῶν, ἵνα τὸ σὸν Ὄνομα Ἀνδρέα, ἀκαταπαύστως δοξάζωμεν.

*Θεοτοκίον.*

Ὑπάρχουσα πάντοτε, τῶν οὐρανίων στρατιῶν, τοὺς ὀρθῶς φρονοῦντάς σε, Μῆτερ Θεοῦ, Θεοτόκον· ἁγνήν, σκέπε ἡμᾶς, ὅπως σὲ συμφώνως ἀπαύστως σὲ μεγαλύνοντες.

*Ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας ὡς θνητός.*

Ὁσίων πάντων ὁ χορός, καὶ τῶν ἀγγέλων σήμερον, κοινὴν χορείαν κροτοῦντες, ἀεὶ προτρέπουσιν ἡμᾶς, τοῦ ἐπαινέσαι ᾄσμασιν, μνήμην σοφὲ Ἀνδρέα, τῆς σῆς τελειώσεως.

*Καὶ τῆς ἑορτῆς*

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ, τοῦ παραδόξου θαύματος! ἐν ὥρα σῆς ἱερᾶς, ἐκδημίας πρὸς Κύριον, φῶς ὡς σέλας ἔλαμψας, καταυγάζον τοὺς ἅπαντας, καὶ τοῦ σπηλαίου λαμπάδες ἔδειξας, ἄνωθεν φαινούσας πᾶσι ἔνδοξε. Ἃς ἡ βασίλισσα, τῶν Ἀρτέων βλέψασα, δραμοῦσα σοῦ, τὴν ταφὴν ἐποίησεν, Ἀνδρέα χαίρουσα.

Πάντων τῶν ἐν γῇ μακάριε, καταφρονήσας τερπνῶν, τῷ Χριστῷ ἠκολούθησας, καὶ αὐτοῦ πυρουμένος, τῇ ἀγάπη ἐνέκρωσας, τὰ τῆς σαρκός σου μέλη πανόλβιε, δι’ ἐγκρατείας, πόνων καὶ θλίψεων. Ὅθεν ὑμνοῦμεν σέ, καὶ πιστῶς βοῶμεν σι· Χριστὸν ἀεί, σῶσε πάντας πρέσβευε, Ἀνδρέα ὅσιε.

Μῦρον ὡς εὐῶδες Ἅγιε, ἡ τῶν λειψάνων τῶν σῶν, λάρναξ θεία μυρίζουσα, εὐφροσύνης πίμπλησι τὰς ψυχὰς ἡμῶν ὅσιε. Διὸ κροτοῦντες, ὕμνον ἑόρτιον, τόν σε ἀῤῥήτως Πάτερ δοξάσαντα, Λόγον δοξάζομεν, καὶ πανηγυρίζομεν, τὴν σὴν φαιδράν, μνήμην ἑορτάζοντες, ἀγαλλιώμενοι.

Πόνους καὶ τὰ σὰ παλαίσματα, καὶ παγετὼν τῆς νυκτός, καὶ ἡμέρας τὸν καύσωνα, κακουχίαις Ὅσιε, πεῖναν δίψαν καὶ γύμνωσιν, τὴν παῤῥησίαν σου τὴν πρὸς Κύριον, καὶ ἀρετῶν σου σοφὲ λαμπρότητος, βλέπων διάβολος, παντελῶς ᾐσχύνετο, οὗ καὶ ἡμᾶς πάσης βλάβης λύτρωσε, Ἀνδρέα πάντιμε.

*Δόξα... Ἦχος πλ. β΄.*

Σήμερον Χαλκιοπούλου ἡ πληθὺς πνευματικῶς συνελθοῦσα, καὶ Ἀκαρνανίαν καὶ Ἄρταν καὶ Αἰτωλίαν συγκαλοῦσα, ἐνθέοις τοῖς ᾄσμασιν Ἀνδρέα γεραίρει σέ. Καὶ τῶν θαυμάτων σου τὰ τεράστια ἀναμημνησκομένη, ἐν χαρὰ ἐκβοᾶ σοι. Χαίροις ὁ διὰ τῶν τοῦ ὕδατος σταγόνων, τῶν ἐν τῷ σπηλαίῳ σου πιπτόντων, τὴν κεφαλὴν τῆς γυναικὸς ἰασάμενος. Χαίροις ὁ τοῦ προσκυνήσαντος σοῦ τὸν τάφον, τῶν παρειμένων γονάτων, ὡς συμπαθὴς τὴν ἰατρείαν παρέσχες. Χαίροις ὁ δι' ἐκ τοῦ τάφου σου χοός, πᾶσι τοῖς ἐν πίστει προσιοῦσι, ὡς ἰατρὸς ψυχῶν τε καὶ σωμάτων, τὴν θεραπείαν πάντων ποιήσαι. Καὶ νῦν ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεόν, πατέρων ἐκλογίων, Ἀνδρέα σοφέ, μὴ διαλείπεις πρεσβεύω τοῦ ῥυσθῆναι ἡμός, ἐκ πολέμων καὶ αἱρέσεως καὶ πάσης ὀργῆς, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τοῖς Ἀνδρέα μάκαρ τῷ σῷ ναῷ, τῷ ἐν τῷ σπηλαίῳ, ἐρχομένοις καὶ τὴν σεπτήν, μνήμην σου τελοῦσι, πιστοῖς εἰρήνην δίδου, ὑγείαν καὶ τοῖς πᾶσι, πάτερ τὴν ἄφεσιν.

